№ 425
Ε.Β.L. - Β'. - 1987
www.tezaurliturgic.ro

ΕΚΔΟΣΕΙΣ
ΟΡΘΟΔΟΞΟΥ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΕΝΩΣΕΩΣ ΝΕΩΝ ΠΑΤΡΩΝ
ΓΡΑΦΕΙΑ Γεροκωστοπούλου 60.

173 δ

ΤΕΥΧΟΣ Θ΄.

# ΚΑΝΟΝΕΣ ΠΑΡΑΚΛΗΤΙΚΟΙ ΚΑΙ ΧΑΙΡΕΤΙΣΜΟΙ

## ΑΠΟΣΤΟΛΟΥ ΑΝΔΡΕΟΥ

Τῇ εὐγενῇ προσφορᾷ Ἀνδρέου Μοναχοῦ, Ἁγιογράφου.

Ὑπὲρ τῆς Φιλανθρωπικῆς ὁμάδος

ΠΑΤΡΑΙ Νοέμβριος 1925.

ΤΥΠΟΓΡΑΦΕΙΟΝ ΔΗΜ. ΦΡΑΓΚΟΥΛΗ—ΠΑΤΡΑΙ

www.tezaurliturgic.ro

Πάτρα 1925

# Α΄. ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΑΠΟΣΤΟΛΟΝ ΑΝΔΡΕΑΝ ΤΟΝ ΠΡΩΤΟΚΛΗΤΟΝ

Οὗ ἡ ἀκροστοιχὶς

"ΔΕΞΑΙ ΔΕΗΣΙΝ ΑΝΡΕΑ ΑΝΤΩΝΙΟΥ ΜΟΝΑΧΟΥ„

Τροπάριον ἦχος δ΄. πρὸς τό, Τῇ Θεοτόκῳ....

Τοῦ Πρωτοκλήτου τῷ ναῷ νῦν προσδράμωμεν, οἱ ἐν ταῖς νόσοις καὶ δεινοῖς κατεχόμενοι, ἀπὸ βαθέων κράζοντες καρδίας αὐτῷ· ἔνδοξε Πρωτόκλητε, ὦ Ἀνδρέα Θεόπτα, πρόφθασον καὶ ἴασαι, νοσημάτων παντοίων, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς τῇ σῇ σκέπῃ θερμῶς καταφεύγοντας.

Δόξα· τὸ αὐτό· καὶ νῦν. Τῇ Θεοτόκῳ ἐκτενῶς.....

Ὁ ν΄. εἶτα ὁ κανών· ᾠδὴ α΄. ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας ὡσεί.

Δεσμεῖν τε καὶ λύειν παρὰ Χριστοῦ, λαβὼν ἐξουσίαν, ἁμαρτίας με τοῦ δεσμοῦ, λῦσον ὦ Ἀνδρέα Θεηγόρε· καὶ γὰρ αὐτή μοι, τὴν νόσον ἐπήνεγκεν.

Ἐν νόσοις καὶ πόνοις παντοδαποῖς, τρυχόμενος μάκαρ, ἐκ καρδίας σὲ δυσωπῶ, τούτων παρασχεῖν μοι τὴν ταχεῖαν, ἀπαλλαγὴν καὶ τελείαν ὑγείωσιν.

Ξενωθεὶς ἀφρόνως τῆς ἐντολῆς, Θεοῦ παρεδόθην, τῇ δικαίᾳ αὐτοῦ ὀργῇ· ὅν περ ἐκδυσώπει ὦ Ἀνδρέα, ἱλέῳ ὄμματι μάκαρ προσβλέψαι με.

Θεοτοκίον

Ἀπόρθητον τεῖχος καὶ ἀρραγές, γενοῦ μοι Παρθένε, καταφεύγοντι εὐλαβῶς, τῇ σκέπῃ σου κόρη Θεομῆτορ, πλήν σου γὰρ ἄλλην, ἐλπίδα οὐ κέκτημαι.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἱκεσίαις Ἀνδρέα, οὐ δραστικαῖς Ἅγιε, τοὺς ἐν τῷ ναῷ σου φοιτῶντας, καὶ αἰτουμένους σε, πάντας ἐξάρπασον, ἐκ συμφορῶν καὶ κινδύνων, πάσης περιστάσεως, ψυχῆς καὶ σώματος.

Δεομένους ἐκ πόθου, καὶ ἐκ θερμῆς πίστεως, τοὺς κα-

www.tezaurliturgic.ro



τακειμένους ἐν κλίνῃ δεινοῦ νοσήματος, ῥοπῇ ἀνάστησον, τῆς ἰσχυρᾶς σου πρεσβείας· ἔχεις γὰρ ἰαμάτων, πλοῦτον ἀδάπανον.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ, πόνοις πολλοῖς τρύομαι, τοῖς ἐκ νοσημάτων, παντοίων, κατακεντούμενος· διὸ τῇ σκέπῃ σου, νῦν καταφεύγω Ἀνδρέα· μὴ δὴ οὖν παρίδῃς με, μύστα Πρωτόκλητε.

**Θεοτοκίον.**

Ἡ τεκοῦσα Σωτῆρα, καὶ λυτρωτὴν Ἄχραντε, τὸν τὰς βροτῶν ἀσθενείας πάσας ἰώμενον· ὅν ἁγνὴ πάναγνε, σὺ ἀκραιφνῶς μιμουμένη, νόσῳ με κρατούμενον, ἴασαι Δέσποινα.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου ὦ Ἀνδρέα· ὅτι πάντες μετὰ Θεόν, εἰς σὲ καταφεύγομεν, ὡς ἕτοιμον ῥύστην καὶ πολιοῦχον.

**καὶ... Ἐπίβλεψον ἐν εὐμενείᾳ. καὶ ἡ αἴτησις.**

**εἶτα τὸ παρόν· πρὸς τὸ Πρεσβεία θερμή.**

Προστάτης Πατρῶν, φρουρὸς ὁ ἀσφαλέστατος, ἀπαύστως φρουρεῖν μὴ διαλύσῃς ἔνδοξε, Ἀνδρέα Πρωτόκλητε, τοὺς σὲ θερμῶς καθικετεύοντας· ἀλλ᾿ ἐκ κινδύνων λύτρωσε τὴν σήν, ἥν περ ἐξόχως ποίμνην πεπίστευσαι.

**Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.**

Συνεχόμενον θλίψεσι, καὶ στενοχωρούμενον νόσῳ σώματος, ἐλευθέρωσόν με δέομαι, θεία σου ἐντεύξει ὦ Πρωτόκλητε.

Ἱκετεύω σε ἔνδοξε, σάλῳ καὶ βυθῷ δεινῶν περιστάσεων, μὴ παρίδῃς ποντούμενον· ἀλλ᾿ ἀνάγαγέ με, σαῖς δεήσεσιν.

Νοσημάτων ἀπάλλαξον, τοὺς ἐν τῷ ναῷ σου θερμῶς προστρέχοντας καὶ προστάτην σε θερμότατον, ἐπικαλουμένους Πανασίδιμε.

**Θεοτοκίον.**

Ἀνακαίνισον Ἄχραντε, πεπαλαιωμένον με δεινοῖς πταίσμασιν, ἡ τὸν καινουργὸν κυήσασα, ἀρεταῖς ἐνθέοις βελτιώσασα.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Νέμοις μοι ῥοπήν, σοῦ τῆς θείας ἀντιλήψεως, καὶ καταψύξαις τὴν καρδίαν μου, φλογιζομένην, καὶ πυρέσσουσαν Ἀπόστολε.

Δῶρον εἰληφώς, τῶν ἰάσεων τὸ δώρημα, δώρησαι ἰά-



σεως χρῇζον τῆς καχεξίας τὴν κατάπαυσιν βραβεύων μοι.

Ῥῦσαι πειρασμῶν, χριστομίμητε Πρωτόκλητε, κινδύνων καὶ ποικίλων θλίψεων, ἐπερχομένων, ἀδοκήτως τοῖς οἰκέταις σου.

**Θεοτοκίον.**

Ἔχουσα ἁγνή, εὐσπλαγχνίας μέγα πέλαγος, νῦν μοι κινδυνεύοντι Πανάμωμε, ἐπικάμφθητι, διὰ σπλάγχνα σῆς χρηστότητος.

**Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.**

Ἀκέστορα σέ πλουτοῦμεν Ἅγιε, καὶ θερμὸν ἐν περιστάσεσι πρέσβυν, ῥύστην φρουρὸν καὶ προστάτην Ἀνδρέα, ὡς εἰς κοινὸν ἰατρεῖον προσφεύγομεν. Θεράπευσον οὖν συμπαθῶς, τὰς ἡμῶν ἀσθενείας καὶ μάστιγας.

Ἀκούσας μου τῆς εὐχῆς Ἀπόστολε, ἐπιτάχυνον οἰκτεῖραί με μάκαρ· ἰδοὺ γὰρ νῦν ἡ ζωή μου ἐκλείπει, ὡς εἰς ἀέρα καπνὸς σκεδαννύμενος· ἀλλ᾿ εὕροιμί σε ἀρρωγόν, χριστομίμητον οἶά περ πέλοντα.

Νηχόμενος τοῖς τοῦ βίου κύμασι, περιπίπτω καθ᾿ ἑκάστην ἀνάγκαις, ταῖς τὴν ψυχὴν καὶ τὸ σῶμα στροβούσαις· ὡς δ᾿ εἰς γαλήνιον ὅρμον Πρωτόκλητε, τὸν σὸν ναὸν προσπεφευγώς, διασῴζομαι θείαις πρεσβείαις σου.

**Θεοτοκίον.**

Τὸ μέγιστον τῶν πιστῶν προσφύγιον, τὸ κοινὸν τῶν ἀσθενῶν ἰατρεῖον, χριστιανῶν τὴν στερρὰν προσδοκίαν. τῶν δεομένων τὴν θείαν ἀντίληψιν· τὴν Δέσποιναν τοῦ οὐρανοῦ καὶ τῆς γῆς δυσωπῶσαι οἰκτεῖραί με.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου ὦ Ἀνδρέα ὅτι πάντες μετὰ Θεοῦ εἰς σέ καταφεύγομεν, ὡς ἕτοιμον ῥύστην καὶ πολιοῦχον.

**Καὶ Ἄχραντε. Εἶτα Κοντάκιον πρὸς τὸ Προστασία τῶν χριστιανῶν**

Προασπίζειν τῆς ποίμνης τῆς σῆς Παμμακάριστε, καὶ πρεσβεύειν ἀπαύστως χριστῷ τῷ Δεσπότῃ σου, μὴ ἀποκάμῃς ἐκτενῶς δεόμενος αὐτοῦ· ἀλλὰ πρόφθασον ὡς μιμητὴς τῶν σταυρικῶν αὐτοῦ παθῶν, ὑπὲρ τῶν δεομένων σου· κόπασον πειρασμούς τε καὶ λῦσον τὰς περιστάσεις. τῶν προστρεχόν των σοι θερμῶς, Ἀνδρέα Πρωτόκλητε.

**Προκείμενον. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ...**

**Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.**

www.tezaurliturgic.ro



Εὐαγγέλιον, τὸ εἰς τὴν μνήμην αὐτοῦ.
Ἐκ τοῦ κατὰ Ματθαῖον (δ' 18—23).

Τῷ καιρῷ ἐκείνῳ, περιπατῶν ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφούς, Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν, (ἦσαν γὰρ ἁλιεῖς) καὶ λέγει αὐτοῖς· Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. Καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφούς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ τοῦ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς. Οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ. Καὶ περιῆγεν ὅλην τὴν Γαλλιλαίαν ὁ Ἰησοῦς, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ Εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

Δόξα. ταῖς τοῦ Πρωτοκλήτου... καὶ νῦν ταῖς τῆς Θεοτόκου.
Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Ἀνδρέα Πρωτόκλητε, τοῦ Κορυφαίου ὁμαίμων, Ἀποστόλων καύχημα, Μαθητῶν προβάθμιε, ἀγλαότιμε, ἀπαρχὴ ἁγία, τοῦ Εὐαγγελίου, τοῦ Κυρίου ἐχρημάτισας. Ὡς οὖν γινώσκοντες, ἔξοχον πρεσβείαν πλουτοῦντά σε, σοὶ πάντες καταφεύγομεν· καὶ νῦν ἐκτενῶς σου δεόμεθα, ἴασαι τὰς νόσους, τοὺς πόνους καὶ τὰς μάστιγας ἡμῶν, καὶ ῥῦσαι πάσης κακώσεως, ποίμνην τὴν τιμῶσάν σε.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὡς ποτὲ τῆς χρονίας, ἀσθενείας ἐρρύσω μάκαρ τὸν Σώσιον, ἀφῇ χειρός σου μόνῃ οὕτω τῆς νῦν τηκούσης, κἀμὲ νόσου ἀπάλλαξον, σοῦ ἀοράτῳ θερμῇ Ἀνδρέα ἐπισκέψει.

Νεκρὸν ὡς ἐξεγείρω, ἐπικαμφθείς, Ἀνδρέα μητρὸς τοῖς δάκρυσι, κἀμὲ νῦν ἡμιθνῆτα, βραχύ τι κεκτημένον, ζωῆς λείψανον ἔγειρον, ὡς ἀκραιφνὴς μαθητής, τοῦ τοὺς νεκροὺς ζωοῦντος.

Ἰαμῶς πιεζούσης, τῆς φλογὸς ἐντοσθίων τὴν θέσιν Ἅγιε, κατάψυξον φαρμάκοις, ἀοράτοις ἀπλάστοις, εὐεξίαν παρέχων μοι, ὡς ἐξουσίαν λαβών, ἰᾶσθαι τοὺς νοσοῦντας.



Θεοτοκίον.

Οὐρανῶν πλατυτέρα, ἀνεδείχθης Παρθένε Χριστὸν κυήσασα· στενούμενον οὖν νόσοις, καὶ θλίψεσι παντοίαις, πρεσβειῶν σου εὐρύτητι κατάστησόν με ἁγνή, εἰς ὑγιείας πλάτος.

Ὠδὴ η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Ὑπὸ τὴν σκέπην τῶν πρεσβειῶν σου Ἀνδρέα, προσδραμὼν δέομαί σου, ῥυσθῆναι τῶν περιστοιχούντων, δεινῶν με ἀνενδότως.

Μετανοεῖν με, ἀπὸ ψυχῆς καὶ καρδίας, ἐξαιτῶ ἐπαμῦναι Ἀνδρέα, ταῖς πανευπροσδέκτοις πρὸς Κύριον λιταῖς σου.

Ὀδυνωμένῳ, ὑπὸ μακρᾶς ἀσθενείας, ἰατρὸς προστηθί μοι Ἀνδρέα, ὡς ἀπορουμένων καὶ ὀρφανῶν προστάτης.

Θεοτοκίον.

Νενεκρωμένον, τῶν προσβολῶν ταῖς ἀκίσι, δυσωπῶ ζώωσαί με Παρθένε τὸν Ζωοδότην, Χριστὸν ἀποτεκοῦσα.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Αὐγαῖς ταῖς τῆς Τριάδος, λάμπρυνον Ἀνδρέα, τὰ τῆς ψυχῆς καὶ καρδίας μου ὄμματα, ἵνα σε πόθῳ γεραίρω, ἐνθέοις ᾄσμασιν.

Χριστομιμήτως μάκαρ, τὰς ἀνυψωθείσας, ἐπὶ σταυροῦ πρὶν παλάμας σου ἔπαρον, πρὸς τὸν Σωτῆρα πρεσβεύων, ὑπὲρ τῆς ποίμνης σου.

Ὀχύρωμα καὶ σθένος, σκέπη τε καὶ φύλαξ, γενοῦ Ἀνδρέα καὶ τεῖχος ἀπόρθητον, τοῖς καταφεύγουσι πίστει, τῇ θείᾳ σκέπῃ σου.

Θεοτοκίον.

Ὑπέραγνε Παρθένε, σὺν τῷ Πρωτοκλήτῳ, τὸν σὸν Υἱὸν εἰσαεὶ καθικέτευε, ὅπως ῥυσθείημεν πάντες, φρικτῆς κολάσεως.

Μεγαλυνάρια.

Δεῦτε τὸν Πρωτόκλητον μαθητήν, ἐν ὕμνοις ᾀσμάτων, εὐφημήσωμεν οἱ πιστοί, τὸν τοῦ Αἰγεάτου, τὸ θράσος καθελόντα, καὶ τοῦ Χριστοῦ τὸ πάθος, ἐκμιμησάμενον.

Δεῦτε τὸν Πρωτόκλητον μαθητήν, καὶ τὸν Ἀποστόλων, τὸν προβάθμιον ἀγωγόν, τὸν τῆς Ἀχαΐας καὶ τὸν

www.tezaurliturgic.ro



Πατρῶν προστάτην, Ἀνδρέαν τὸν Θεόπτην, ὕμνοις τιμήσωμεν.

Χαίροις ὁ Πρωτόκλητος μαθητής, χαίροις σωφροσύνης, καὶ ἀνδρείας στήλη λαμπρά· χαίροις ὁ τοῦ πάθους, κοινωνὸς τοῦ Κυρίου, Ἀπόστολε Θεόπτα Ἀνδρέα πάντιμε.

Χαίροις τῶν Πατρέων μέγας φρουρός, πρόμαχος καὶ ῥύστης, πολιοῦχος καὶ βοηθός· χαίροις τῆς σῆς ποίμνης, ὑπερμαχῶν ἀπαύστως, καὶ περισκέπων ταύτην, Ἀνδρέα ἔνδοξε.

Σκέπε, φρούρει, φύλαττε ἐκ δεινῶν, τοὺς ἐν τῷ ναῷ σου, ἀνυμνοῦντάς σε εὐλαβῶς· καὶ ῥῦσαι κινδύνων καὶ πάσης ἄλλης βλάβης, τὴν σὲ τιμῶσαν ποίμνην, Ἀνδρέα ἔνδοξε.

**Ἐν τῇ προσκυνήσει τῆς εἰκόνος.**
**Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**

Πάντων Ἀποστόλων καὶ μυστῶν, ἔνδοξε Πρωτόκλητε μύστα, τοὺς προσκυνοῦντας θερμῶς, τὴν σεπτὴν εἰκόνα σου, βλάβης ἐξάρπασον, ὁρατῶν ἀοράτων τε, ἐχθρῶν καὶ παντοίων, νόσων ἐλευθέρωσον ψυχῆς καὶ σώματος· ἵνα εὐχαρίστοις ἐν ὕμνοις, ὡς παντοδαπὸν εὐεργέτην, καὶ θερμὸν προστάτην σε γεραίρωμεν.

---

## Β΄. ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
## ΕΙΣ ΤΟΝ ΑΠΟΣΤΟΛΟΝ ΑΝΔΡΕΑΝ ΤΟΝ ΠΡΩΤΟΚΛΗΤΟΝ

**Οὗ ἡ ἀκροστοιχὶς «Νόσων ῥῦσαί με, καὶ πόνων ὦ Ἀνδρέα· ναίδη.»**
**Ὠδὴ α΄. ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ...**

Νενοσηκότα τὴν ψυχὴν καὶ σῶμά μου, ἐξ ὑψωμάτων σοφέ, μάκαρ ἐπιβλέψας, συμπαθῶς ἐπισκέψαι· σοὶ γὰρ ἐξόχως δέδοται, ὦ Ἀνδρέα ἡ χάρις, ψυχῆς καὶ σώματος μάστιγας, τοῦ ἰᾶσθαι μύστα Πρωτόκλητε.

Οἰκονομίας θείας ἀναδέδειξε, καὶ μυστηρίου φρικτοῦ, θεῖος οἰκονόμος, ὑπουργὸς πανάριστος· σοί τοίνυν ἀνατίθημι, Θεηγόρε Ἀνδρέα, εὐθέως οἰκονομήσασθαι, τὰ κατ᾿ ἐμαυτὸν διαβήματα.

Συντετριμμένῃ ἐν καρδίᾳ πρόσειμι, καὶ κατανύξει ψυχῆς, τὸν ναόν σου μάκαρ, τοῦ λαβεῖν τὴν ἴασιν, τῆς πιε-



ζούσης νόσου με· διὸ μή μου παρίδῃς τὸν στεναγμὸν καὶ τὰ δάκρυα, καὶ συντετριμμένην διάθεσιν.

**Θεοτοκίον.**

Ὡς ἀνωτέρα ποιημάτων Δέσποινα, τῶν ὁρατῶν νοητῶν, πάντων Θεοτόκε, πεφυκυῖα Ἄχραντε, ταῖς σαῖς πρεσβείαις δεῖξόν με, ἐπηρείας νοσώδους, ἀνώτερον καὶ ἐλεύθερον, πάσης τε δεινῆς περιστάσεως.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Νόμων θείων ἐκκλίνας, ἀσυνετῶν πάντοτε, παρασυνεβλήθην Ἀνδρέα, ἀλόγοις κτήνεσι· διό σου δέομαι τῆς μετανοίας συνέσει, τὸν ἀσυνετοῦντά με, μάκαρ συνέτισον.

Ῥευματώδεις καθάπερ ποταμηδὸν τρύουσι, πόνοι με ἀρθρῖται Ἀνδρέα, καὶ καταθλίβουσιν· ὧν περ τὴν ἄστατον, φορὰν ταῖς σαῖς ἱκεσίαις, ταῖς πρὸς τὸν οἰκτίρμονα, στήσειας Ἅγιε.

Ὑπετάγην ἀφρόνως, νεκροποιοῖς πάθεσι, καὶ προσελογίσθην Ἀνδρέα, νεκρὸς ἡμίθνητος, ὡς ἀβοήθητος, σὲ δυσωπῶ οὖν ζωῶσαι, τὸν νενεκρωμένον με, ψυχῇ καὶ σώματι.

**Θεοτοκίον.**

Συμφοραῖς ἀδοκήτοις, περιπεσὼν ἔδραμον, ἐν τῷ σῷ τεμένει Παρθένε, παραμυθήσασθαι, πᾶσαν κατήφειαν καὶ σκυθρωπότητα λῦσαι, βλέψας τὴν εἰκόνα σου τὴν θαυματόβρυτον.

**Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε...**

Ἀπὸ βυθοῦ, ὥσπερ τὸ πάλαι ἐξήγαγες, τῆς ἀγνοίας, καὶ τῆς ἀπογνώσεως, εἰδωλικῆς πάντας τοὺς λαούς, οὕτω δέομαί σου, Ἀνδρέα νῦν με ἐξάγαγε, ἐκ λάκκου ἀσθενείας, καὶ τῆς ταλαιπωρίας, δραστικαῖς σου πρεσβείαις πρωτόκλητε.

Ἰλιγγιῶ, διαδοχῆς τῆς ἐκ θλίψεων, ὦ Ἀνδρέα, ἐπιφερομένων μοι, διηνεκῶς καὶ μὴ ἐχουσῶν, κἂν οὐδὲ πρὸς ὥραν, κατάπαυσιν· διὸ πέφευγα, πρὸς σὲ διασκεδάσαι, ἀθυμίας τὴν ζάλην, καὶ γαλήνην βραβεῦσαί μοι Ἅγιε.

Μετὰ πικρῶν, νῦν στεναγμῶν τῆς καρδίας μου, ἐκβοῶ σοι, ἔνδοξε Πρωτόκλητε, μή μου παρίδῃς τὴν ταπεινήν, ταύτην ἱκεσίαν παράκλησίν τε καὶ δέησιν· ἀλλὰ κλῖνον τὸ οὖς σου, καὶ δέξαι μου τὸν θρῆνον, ἐκ τῶν δεινῶν με ἐξαιρούμενος.

**Θεοτοκίον.**

www.tezaurliturgic.ro



Ἐπηρειῶν, βάρος πολύ με ἐκύκλωσε, Θεοτόκε, κόρη ἀπειρόγαμε, τοῦ πονηροῦ καὶ καταβαρεῖ, ψυχὴν καὶ τὸ σῶμα, εἰς ἀπωλείας τὰ βάραθρα· ἀλλὰ κραταιοτάτῃ, ἀντιλήψει Παρθένε, καὶ ἰσχύϊ σου τούτων με λύτρωσαι.

**Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω...**

Κεκρυμμένως πειρᾶται, ἐντολῶν τοῦ Δεσπότου ἀποσυλῆσαί με, ὁ ἐχθρὸς Ἀνδρέα, ὁ ἀρχέκακος ὄφις καὶ ἄσπονδος· ἀλλ᾿ ὡς ἐξουσίαν, λαβὼν πατεῖν τὴν κάραν τούτου, τὴν ὀφρὺν καὶ ἰσχὺν αὐτοῦ σύντριψον.

Ἀναγκῶν καταιγίδες, καὶ δεινῶν ἐπιθέσεις ὑπερεπλήθυναν, ἐπ᾿ ἐμοὶ Ἀνδρέα, ἀπογνώσεως βόθρον ὀρύττουσαι· ἀλλ᾿ ὡς ἐσχηκώς σε, μετὰ Θεὸν ἐλπίδα μόνην, σοὶ κραυγάζω τὸ δοῦλόν σου σῶσόν με.

Ἱκανώσεως χρῆμα, ἀντὶ πάντων Ἀνδρέα πρέσβυν προβάλλομαι, σὲ πρὸς τὸν Δεσπότην, ὧν ἐξήμαρτον λύσιν βραβεῦσαί μοι· ἔχεις γὰρ θεόπτα, πρὸς τὸν Σωτῆρα παρρησίαν, ἀκαταίσχυντον καὶ ἀναπόβλητον.

**Θεοτοκίον.**

Πεφευγότα Παρθένε, πρὸς τὴν σὴν βοήθειαν καὶ τὴν ἀντίληψιν, μή με ἀπορρίψῃς, τὸν ἀνάξιον τῆς βοηθείας σου· ἀλλ᾿ οἰκτείρησόν με, καὶ πρὸς τὸ φῶς τῆς μετανοίας, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

**Ὠδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον...**

Ὁρμήματα τῶν παθῶν προσέκρουσαν, τῇ ἀθλίᾳ μου ψυχῇ ὦ Ἀνδρέα, καὶ παντελῆ αὐτῇ πτῶσιν ποιῆσαι, ἐπαπειλοῦσι ῥαγδαίως καὶ ἔρειψιν· πρόφθασον οὖν τῇ ἰσχυρᾷ, σοῦ πρεσβείᾳ καὶ ταύτην ἀνόρθωσον.

Νεώτερος νῦν ἐγὼ καὶ ἄσωτος, παρὰ πάντας τοὺς βροτοὺς ὦ Ἀνδρέα, ὁ τὴν ψυχὴν καὶ τὸ σῶμα μολύνας, ἐν ἁμαρτίαις παντοίαις καὶ πάθεσιν· ἀλλ᾿ ὡς ἀόριστον χάριν λαβών, τούτων πάντων τὸ βάρος διάλυσον.

Ὡς ὄντος σου παρθενίας ἴνδαλμα καὶ ἁγνείας ἀκηλίδωτον κτῆμα, καὶ κορωνὶς σωφροσύνης Ἀνδρέα, καὶ καθαρότητος θεῖον ἐκτύπωμα, σοῦ δέομαι τὴν ῥυπαράν, καὶ ἀθλίαν ψυχήν μου καθάρισον.

**Θεοτοκίον.**

Νεότητος ἐμπαθοῦς μου Δέσποινα, καὶ ἀγνοίας ἀναφύονται ῥίζαι, καὶ τῶν παθῶν ψυχοφθόροι αἰτίαι· ἀλλ᾿



ὡς αἰτία ἁγνὴ χρηματίσασα, τῆς σωτηρίας τῶν βροτῶν, ἐξ ἐμοῦ ταύτας τέμνουσα σύγκοψον.

**Ὠδὴ ζ΄. Παῖδες ἑβραίων ἐν καμίνῳ...**

Ὢ πῶς ὑμνήσω σου τὴν χάριν, τὴν ἀντίληψιν καὶ θείαν προστασίαν ἣν ἔδειξας ἐμοί, Ἀπόστολε Ἀνδρέα, νόσων πολλῶν καὶ θλίψεων, ἐκλυτρώσας παραδόξως.

Ἄμισθον ὄντως ἰατρεῖον, ὁ περίκλυτος οὗτος ναός σου πέλει· ἐν ᾧ πᾶς τις θερμῶς, προστρέχων ἐκλυτροῦται, τῆς οἱασοῦν κακώσεως, ἀσθενείας τε καὶ βλάβης.

Νέος παράλυτος ὑπάρχω, κατακείμενος ἀνιατρεύτῳ νόσῳ· ἀλλ᾿ ὡς πάλαι Χριστός, ἰάσατο τὸν τότε, οὕτω κἀμοῦ θεράπευσον τὴν δεινὴν παραλυσίαν.

**Θεοτοκίον**

Δόξα τῇ σῇ κυοφορίᾳ, δόξα Δέσποινα καὶ τῇ οἰκονομίᾳ, τοῦ σοῦ κόρη υἱοῦ· δι᾿ οὗ οἰκονομοῦνται, καὶ κυβερνῶνται ἅπαντα, ὁρατὰ καὶ νοητά τε.

**Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα....**

Ῥύμην πάσης ἀτάκτου ἀσθενείας, φερομένην ἀνάστειλον Ἀνδρέα, ὑπερμαχῶν τῆς ποίμνης σου Ἀπόστολε, ἄληκτον τὸν ὕμνον, σοὶ ἀναπεμπούσης, εἰς πάντας τοὺς αἰῶνας.

Εὗρες πρῶτος πηγὴν τῶν ἰαμάτων, ποιουμένην πορείας σωτηρίους· ἐξ ἧς ἡμῖν ἐπόμβρησον ἰάματα, τοῖς προστρέχουσί σοι, θερμοτάτῃ πίστει, Ἀνδρέα θεηγόρε.

Ἆρον ἄνω τὰς χεῖράς σου Ἀνδρέα, τὰς ἐν ξύλῳ σταυροῦ ἀνυψωθείσας, πρὸς Χριστὸν τὸν σὸν Δεσπότην Ἀπόστολε, τοῦτον ἱκετεύων, ἔνδοξε ἀπαύστως, ὑπὲρ τῶν σὲ ὑμνούντων.

**Θεοτοκίον**

Νικησάτω ἁγνὴ ἡ σὴ πρεσβεία, τὴν ἀθλίαν ψυχήν μου ῥυομένη, ἐκ συσκευῆς ἐχθρῶν τῶν πολεμούντων με, ἄπαυστα παρθένε· ἵνα σε δοξάζω, εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός....**

Ἀνδρέα Ἀποστόλων ἡ καλλονή, τὸ γλυκύτατον πρᾶγμα καὶ ὄνομα, ὁ ὑψωθείς, ὥσπερ ὁ Δεσπότης ἐν τῷ σταυρῷ, τοῦτον, ἀεὶ ἱκέτευε, ῥύσασθαι κινύνων καὶ πειρασμῶν, τὴν σὲ τιμῶσαν ποίμνην, ἐπιβουλῆς καὶ βλάβης, καὶ συμφορῶν καὶ περιστάσεων.

Ἱκέτης σοὶ προσέρχομαι εὐλαβῶς, ὦ Ἀνδρέα θεόπτα πρωτόκλητε, ἐπεγνωκώς, πηγήν σε ἐκβλύζουσαν ἐκ πηγῆς,

www.tezaurliturgic.ro



τῆς τοῦ Δεσπότου νάματα, πλῦνόν με τοῦ ῥύπου τῶν ἡδονῶν, καὶ δεῖξόν τὴν ψυχήν μου, χιόνος λευκοτέραν, ἐν τῇ ἡμέρᾳ τῆς ἐτάσεως.

Δεσπότου φιλανθρώπου ὡς μιμητήν, θεηγόρε αὐτόπτα πρωτόκλητε, σὲ δυσωπῶ, ῥῦσαί με γεέννης καὶ ἀπειλῆς, ἐν τῇ ἡμέρᾳ ἔνδοξε, δικαιοκρισίας τῆς φοβερᾶς, καὶ δεῖξον κληρονόμον, Θεοῦ τῆς βασιλείας, καὶ θείας δόξης πρεσβείαις σου.

**Θεοτοκίον.**

Ἡ οὖσα ἀνωτέρα τῶν Χερουβίμ, Σεραφὶμ καὶ τῶν θρόνων Δυνάμεων. Ἐξουσιῶν, τῶν Κυριοτήτων τε καὶ Ἀρχῶν, Ἀρχαγγέλων, Ἀγγέλων τε, πάντων ἀοράτων καὶ ὁρατῶν Παρθένε ἀσυγκρίτως, ἀνώτερόν με δεῖξον, πάσης ποινῆς τε καὶ κολάσεως.

**Καὶ τὰ λοιπὰ πάντα, ὡς τὰ τῆς πρώτης παρακλήσεως.**

---

# ΟΙΚΟΙ ΚΔ΄ ΚΑΤ᾿ ΑΛΦΑΒΗΤΟΝ

## ΕΙΣ ΤΟΝ ΠΡΩΤΟΚΛΗΤΟΝ ΑΝΔΡΕΑΝ

**Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.....**

Τῷ πρωτοκλήτῳ μαθητῇ καὶ πρωτοκήρυκι, τῆς μακαρίας καὶ λαμπρᾶς φωνῆς εὑρήκαμεν, τὸν Μεσίαν Χριστὸν τὸν προκαταγγελθέντα, ἀναπέμψωμεν ᾠδὴν εὐχαριστήριον, ὅπως ῥύσηται κινδύνων καὶ κακώσεων, ἡμᾶς κράζοντας· χαῖρε μύστα Πρωτόκλητε.

Ἄνωθεν ὦ Ἀνδρέα ἐνεπνεύσθη σοι χάρις, ἐκ τοῦ Πατρὸς τῶν φώτων βοῆσαι· Εὑρήκαμεν Χριστὸν τὸν Θεόν· ὃν ἐκήρυξας πᾶσι τοῖς ἔθνεσι, κραυγάζουσι καὶ μέλπουσιν, ἀπαύστως νῦν πρὸς σὲ τοιαῦτα.

Χαῖρε δι᾿ οὗ ἡ χαρὰ δωρεῖται.
Χαῖρε δι᾿ οὗ ἡ ἀρὰ σοβεῖται.
Χαῖρε τοῦ Δεσπότολ Χριστοῦ ἡ προκήρυξις.
Χαῖρε Ἀποστόλων ἁπάντων πρωτέρμαιον.
Χαῖρε θεῖον Εὐαγγέλιον καταγγείλας τοῖς βροτοῖς.
Χαῖρε κήρυγμα σωτήριον ὁ κηρύξας τοῖς λαοῖς.
Χαῖρε ὅτι ὑπάρχεις Θεοῦ Λόγου αὐτόπτης.
Χαῖρε ὅτι ὡσαύτως ὡς αὐτὸς ἐσταυρώθης.
Χαῖρε ἀστὴρ μηνύων τὸν ἥλιον.



Χαῖρε φωστὴρ φωτίζων τὰ πέρατα.
Χαῖρε δι᾿ οὗ ὁ Χριστὸς ἐκηρύχθη.
Χαῖρε δι᾿ οὗ ὁ Σατὰν κατηργήθη.

Χαῖρε μύστα Πρωτόκλητε.

Βλέπων ὁ Παντουργέτης τὸ γένος τῶν ἀνθρώπων, ὀλλύμενον φθορᾷ ἀνενδότῳ προσελάβετο δούλου μορφήν, καὶ ἐνανθρωπήσας σὲ ἐξελέξατο, αὐτῷ τὸν ὕμνον ἄληκτον, πρωτόκλητε ἀναβοῶντα· *ἀλληλούϊα*.

Γνώσεως ἀποῤῥήτου ἐμυήθης βάθη, φωτὶ προπελάσας ἀπροσίτῳ· κηρύγματος δὲ ταῖς αὔλαις. ὦ θεηγόρε Ἀνδρέα Ἀπόστολε, ἐξεπαίδευσας ἅπαντας κραυγάζειν καὶ βοᾷν σοι οὕτω.

Χαῖρε βουλῆς ἀποῤῥήτου μύστης·
Χαῖρε ῥοπῆς θεϊκῆς ἀλείπτης.
Χαῖρε Ἀποστόλων τὸ θεῖον κειμήλιον·
Χαῖρε Μαθητῶν τὸ σεπτὸν ἀκροθίνιον.
Χαῖρε γλῶσσα ἡ κηρύξασα τὰ μεγαλεῖα τοῦ Θεοῦ·
Χαῖρε λύρα ἀνακρούουσα τοῦ παρακλήτου τὰς πνοάς.
Χαῖρε τῆς δωδεκάδος ἀπαρχὴ καὶ ἀκρότης.
Χαῖρε τῆς μαθητείας κορωνὶς καὶ λαμπρότης.
Χαῖρε ἐθνῶν ἁπάντων διδάσκαλε·
Χαῖρε λαῶν ἀπείρων ἀμφίβληστρον.
Χαῖρε σπινθὴρ μυθουργήματα φλέξας·
Χαῖρε λουτὴρ ἁμαρτήματα πλύνων.

Χαῖρε μύστα Πρωτόκλητε.

Δύναμιν παρακλήτου, ὑπεδέχθης ἀφθόνως, Πρωτόκλητε θεόπτα Ἀνδρέα, ἐν πυρίνῳ τῷ εἴδει σοφέ· δι᾿ ἧς πᾶσαν ἀθεΐαν ἐνέπρησας· καὶ φωτὶ τῆς Τριάδος βροτοὺς πάντας ἐδίδαξας ψάλλειν· ἀλληλούϊα.

Εὕρηκας θεηγόρε πρῶτος σὺ τὸν Μεσίαν, ὃν ἄνωθεν πάντες οἱ προφῆται, ἐμπνευσθέντες Σωτῆρα Χριστὸν προκατήγγειλαν προφητικῶς χαίροντες· ὃν ἕνεκά σου εὕρομεν, ἡμεῖς σοι νῦν ἀναβοῶντες.

Χαῖρε βλαστοῦ τῆς Παρθένου κλῆμα·
Χαῖρε γλυκὺς τῆς ἀμπέλου βότρυς.
Χαῖρε μιμητὰ τῶν παθῶν τῆς σταυρώσεως·
Χαῖρε κοινωνὲ τῆς Χριστοῦ Ἀναστάσεως.
Χαῖρε Ἴνδαλμα καὶ τύπωμα παρθενίας καθαρόν·
Χαῖρε ἄγαλμα ἀκίβδηλον σωφροσύνης ἀγλαόν.
Χαῖρε ὅτι αὐγάζεις τὰς ψυχὰς τῶν ἐν σκότει·
Χαῖρε ὅτι ἀνάγεις πρὸς ἀνέσπερον φέγγας.

www.tezaurliturgic.ro



Χαῖρε πηγὴ θαυμάτων ἀκένωτος·
Χαῖρε πληγὴ δαιμόνων ἀνίατος.
Χαῖρε Θεοῦ παρεστὼς ἐν τῷ θρόνῳ·
Χαῖρε ἡμῶν ὑπὲρ πάντων πρεσβεύων.
Χαῖρε μύστα Πρωτόκλητε.

Ζέων πόθῳ Ἀνδρέα, μαθεῖν ὁ ζωοδότης ποῦ μένει ὡς βροτός, ἐπηρώτας· ὁ δὲ ἄπλαστόν σε προειδώς, ἔλθετε φησὶν ὑμεῖς καὶ θεάσασθε· οὗ τῷ ἔρωτι τέτρωσαι, αὐτῷ ἀκαταπαύστως κράζων· ἀλληλούϊα.

Ἤκουσας ὦ Ἀνδρέα τοῦ Προδρόμου βοῶντος· ἴδε ὁ ἀμνὸς ὁ αἴρων Κόσμου, τὰς ἁμαρτίας καὶ βαστάσας· καὶ προφρόνως τούτῳ ὡς Θεῷ ἔδραμες· ὃν τοῖς λαοῖς λαμπρῶς ἀνακηρύττεις παρ᾽ ὧν νῦν ἀκούεις.

Χαῖρε τροφεῦ ἀμβροσίας θείας·
Χαῖρε νομεῦ λογικῶν προβάτων.
Χαῖρε τοῦ Προδρόμου σεπτὸν παιδαγώγημα·
Χαῖρε τοῦ Σωτῆρος θερμὸν ἰχνηλάτημα.
Χαῖρε μόνος σὺ Πρωτόκλητος ἐπὶ γῆς ἐπικληθείς·
Χαῖρε λίθος ὁ θεμέλιος ἐκκλησίας τῆς σεπτῆς.
Χαῖρε τῆς οὐρανίου βασιλείας πυλοῦχε·
Χαῖρε ἄνθραξ λυχνίτα τῶν αὐτῆς πρωτοτόκων.
Χαῖρε Χριστοῦ πιὼν τὸ ποτήριον·
Χαῖρε παθῶν αὐτοῦ μιμητήριον.
Χαῖρε δι᾽ οὗ ἀπηλάθη τὸ σκότος·
Χαῖρε δι᾽ οὗ ἀντεισῆλθεν ἡ χάρις.
Χαῖρε μύστα Πρωτόκλητε.

Θεοφρόνως ἐβόας τῷ συναίμονι Πέτρῳ· εὑρήκαμεν ὦ σύγγονε Σίμων, τὸν Μεσίαν Δεσπότην Χριστόν· ᾧ δὴ οὖν καρδίαν καὶ ψυχὴν οἴσωμεν, καὶ λάβωμεν οὐράνια δωρήματα, αὐτῷ βοῶντες· ἀλληλούϊα.

Ἴδον θέαμα ξένον, οἱ λαοὶ τὸν κταθέντα, τῇ μόνῃ σου εὐχῇ ἐγερθέντα· καὶ Δεσπότου σε μύστην πιστόν, ἐγνωκότες Ἀνδρέα σοφέ, ἔπαυσαν αὐτῷ μὲν συνταγῆναι, σοὶ δὲ διηνεκῶς ἀναμέλπειν.

Χαῖρε ἑώας ἀδύτου σέλας·
Χαῖραι φωτὸς ἀνεσπέρου λάμψις.
Χαῖρε τῶν εἰδώλων διώξας σκοτόμαιναν.
Χαῖρε τῆς Τριάδος αὐγάσας τὴν ἔλλαμψιν.
Χαῖρε νόμε θεοτύπωτε ἐξελθὼν ἐκ τῆς Σιών·
Χαῖρε τόμε θεοχάρακτε ἐκπεμφθεὶς τοῖς ἐπὶ γῆς.
Χαῖρε ὁ Μαξιμίλλαν σωφρονεῖν ἐκδιδάξας·



Χαῖρε ὁ Στρατοκλέα τῆς ἀπάτης ἐξάξας.
Χαῖρε τοῦ Αἰγεά του ὁ ἔλεγχος·
Χαῖρε εἰδωλαπάτης ὁ πέλεκυς.
Χαῖρε ἐθνῶν ἁλιεῦ καὶ σαγήνη·
Χαῖρε φρουρὲ καὶ κοινὲ εὐεργέτα.
Χαῖρε μύστα Πρωτόκλητε.

Κῆρυξ ἐθνῶν ἁπάντων, γεγονὼς ὦ Ἀνδρέα ἐπέστρεψας πρὸς θεογνωσίαν τοὺς κεκρατημένους τῷ βυθῷ, τῆς εἰδωλαπάτης καὶ ζοφώσεως· οἵγε νῦν τὴν ἀπάτην ἐκλιπόντες, τῷ Θεῷ βοῶσιν· ἀλληλούϊα.

Λάμψας φῶς τοῖς ἐν σκότει, τὸν Χριστὸν ὦ Ἀνδρέα, ἐδίωξας τοῦ ψεύδους τὸ σκότος· τὰ γὰρ πνεύματα τὰ ἐν βωμοῖς, μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν ὤλλυντο· οἱ τούτων δὲ ῥυσθέντες, ταῦτά σοι προσφονοῦμεν πόθῳ.

Χαῖρε ἀνόρθωσις πεπτωκότων,
Χαῖρε παράκλησις λυπουμένων.
Χαῖρε πλανωμένων ἑτοίμη ἀνάκλησις·
Χαῖρε δισταζόντων στερέμνιος ἄγκυρα
Χαῖρε κάλαμε τῆς χάριτος νέον νόμον ἐκτυπῶν·
Χαῖρε θάλαμον πρὸς ἄφθαρτον ἄγων πάντα τὸν λαόν.
Χαῖρε ἡ τῶν νοσούντων ταχυτάτη ὑγεία·
Χαῖρε τῶν κατεχόντων ἄμισθος θεραπεία.
Χαῖρε τοῖς πᾶσι νέμων συγχώρησιν·
Χαῖρε χαρᾶς βραβεύων δωρήματα.
Χαῖρε τὸ φῶς τῶν ἐσκοτισμένων·
Χαῖρε πυρσὸς τῶν κυμαινομένων.
Χαῖρε μύστα Πρωτόκλητε.

Μέλλοντός σου Ἀνδρέα τῷ σταυρῷ ὑψωθῆναι εὐφήμησας ἐγκωμίοις θείοις, καὶ ἐνδόξοις λογίοις σοφὲ ἐπαινέσας. τούτου εὐκλεῶς ὕμνησας, ὡς ὄντα σωτηρίας πάντων πρόξενον, θεόπτα κράζων· ἀλληλούϊα.

Νόμος ὥσπερ ἐξ ὄρους, ἐκ Σιὼν ἀπεστάλης, θεοχάρακτος πᾶσιν Ἀνδρέα, τοῖς ἐν σκότει κειμένοις λαοῖς· καὶ ῥυθμίσας τούτους πρὸς θεοσέβειαν, σημείοις τε καὶ θαύμασιν, ἐξέπληξας βοᾶν σοι τάδε.

Χαῖρε τὸ κλέος τῆς ἀγλαΐας·
Χαῖρε τὸ κάλλος τῆς εὐπρεπείας.
Χαῖρε τροπαιούχων λαμπρὸν τροπαίου χῆμα.
Χαῖρε τῶν στεφάνων διάδημα ἔξοχον.
Χαῖρε στόμα διηγούμενον δόξαν ἄρρητον Θεοῦ·
Χαῖρε ὄμμα αὐγαζόμενον Τρισηλίου ἐξ αὐγῆς.

www.tezaurliturgic.ro



Χαῖρε ὁ εὐχῇ μόνῃ τὸν νεκρὸν ἀναστήσας·
Χαῖρε ὁ ζῶντα τοῦτον τῇ μητρὶ παραστήσας.
Χαῖρε αὐγὴ ἡλίου μηνύτρια·
Χαῖρε κραυγὴ βοῶσα εὑρήκαμεν.
Χαῖρε Χριστὸν τὸν ποθούμενον πᾶσιν·
Χαῖρε ἡμῖν σὲ ἐξόχως τιμῶσιν.
Χαῖρε μύστα Πρωτόκλητε.

Ξενωθέντα τὰ ἔθνη, ἐντολῶν τοῦ Δεσπότου, οἰκειώσας Θεῷ ὦ Ἀνδρέα, ταῖς σαῖς διδασκαλίαις καὶ διδαχαῖς· καὶ βιοῦν εὐθύμως βιωτὴν ἄμεμπτον, ἐδίδαξας τὸν ὕμνον ἀναμέλπειν αὐτῷ εὐχαρίστως· ἀλληλούϊα.

Οὐρανὸς ἀνεδείχθης, νοητὸς Θεοῦ δόξαν, Ἀνδρέα διηγούμενος πᾶσιν· ὁ δὲ φθόγγος εἰς πᾶσαν γῆν ἐξῆλθε κηρύττων Τριάδα ἄκτιστον, καὶ Θεοῦ υἱὸν τὸν Χριστόν, τοῖς ἔθνεσιν οὕτω βοῶσι.

Χαῖρε τοῦ Κορυφαίου ὁμαίμων·
Χαῖρε τῶν Ἀποστόλων ἀκρέμων.
Χαῖρε ὁ τὸν Μεσίαν πρῶτος εὑράμενος·
Χαῖρε ὁ τῷ συγγόνῳ καταγγειλάμενος.
Χαῖρε ἔσοπτρον λαμπόμενον τῆς Τριάδος ταῖς αὐγαῖς·
Χαῖρε ὄχημα ἀγόμενον ταῖς τοῦ Πνεύματος βουλαῖς.
Χαῖρε ἀκτημοσύνης ὁ λαμπρὸς παραινέτης·
Χαῖρε εὐθυμοσύνης ὁ σοφὸς εἰσηγήτωρ.
Χαῖρε δι᾽ οὗ ἡ πλάνη σεσόβηται·
Χαῖρε δι᾽ οὗ Τριὰς καταγγέλλεται.
Χαῖρε πρηστὴρ καυστικὲ τῆς ἀπάτης.
Χαῖρε κρατὴρ ἀμβροσίας ἀῤῥήτου.
Χαῖρε μύστα Πρωτόκλητε.

Πᾶσα τάξις ἀνθρώπων, ξενηκούσθη τὸ μέγα, τοῦ ἐνθέου κηρύγματος ἔργον· τὸν ἀκατάληπτον γὰρ Θεόν, καθ᾽ ἡμᾶς γενέσθαι προσιτὸν ἄνθρωπον, σοῦ κηρύττοντος ἔνδοξε, ἀκούοντες ἔψαλλον γεγηθότες· ἀλληλούϊα.

Ῥήτορας μυθολόγους, ὡς ἀθυρματολόγους ἔδειξας θεηγόρε Ἀνδρέα, τῇ θεοσοφίᾳ στομωθείς, καὶ πυρίνῃ γλώσσῃ τοῦ θείου πνεύματος, ἐγείρων τοὺς πιστεύοντος, βοᾷν σοι ὁλοψύχως ταῦτα.

Χαῖρε τοῦ Σωτῆρος σταυροῦ ὁ τύπος,
Χαῖρε παθημάτων αὐτοῦ ὁ τίτλος.
Χαῖρε ψευδωνύμου σοφίας ὁ ἔλεγχος,
Χαῖρε φληναφείας ῥητόρων στηλίτευσις.
Χαῖρε ὅτι κατελύθησαν τῶν εἰδώλων οἱ βωμοί·



Χαῖρε ὅτι κατηργήθησαν τῶν ἑλλήνων ῥαψῳδοί.
Χαῖρε τὸ τῆς ἀνδρείας ἀνδριώνυμον κράτος·
Χαῖρε τῆς ἀπαθείας τὸ περίβλεπτον ὕψος.
Χαῖρε θεσμὸς συγγόνου τῆς φύσεως·
Χαῖρε εἱρμὸς φιλίας καὶ σύνδεσμος.
Χαῖρε στοργὴ φιλοστόργων ἁπάντων·
Χαῖρε ῥυθμὸς τοῦ χοροῦ Ἀποστόλων.
Χαῖρε μύστα Πρωτόκλητε.

Σέλας ἡλίου δίκην, ἤστραψας ὦ Ἀνδρέα, κηρύγματος τὰς θείας ἀκτίνας· καὶ τῆς εἰδωλαπάτης τὴν ἰσχύν. κραταιῶς ἀπήλασας ὡς ἀνίσχυρον· ἡμᾶς δὲ καθωδήγησας, τῷ Θεῷ τῶν ὅλων κραυγάζειν· ἀλληλούϊα.

Τύπος τῶν παθημάτων τοῦ Σωτῆρος ἐγένου, Ἀπόστολε θεόπτα Ἀνδρέα· σταυρῷ γὰρ ὑψωθεὶς τὸν Χριστὸν ἐκμιμησάμενος, πάντας ἐζώγρησας πρὸς πίστιν τὴν ἀκίβδηλον, καὶ τούτους σοι προσφωνεῖν διδάξας.

Χαῖρε ἡ στήλη τῆς εὐσεβείας·
Χαῖρε ἡ κρήνη τῆς εὐποιΐας.
Χαῖρε οὐρανὲ Θεοῦ δόξαν φθεγγόμενε·
Χαῖρε ποταμὲ χαρισμάτων τοῦ πνεύματος.
Χαῖρε ὅτι πρῶτος ηὔγασας ἐν Βυζαντίῳ τὸ φῶς·
Χαῖρε ὅτι πρῶτος ἤγειρας τῇ Θεοτόκῳ ναόν
Χαῖρε λαμπρὰ φιάλη, θεῖον μῦρον κενοῦσα·
Χαῖρε ὑγρὰ νεφέλη, θεῖον μῦρον ὀμβροῦσα.
Χαῖρε λαμπὰς πιστοὺς καταλάμπουσα·
Χαῖρε Δυὰς μυστῶν ἡ πρωτόθρονος.
Χαῖρε ἐσθὴς ἀμφιάσεως θείας·
Χαῖρε στολὴ τῆς παλλιγενεσίας.
Χαῖρε μύστα Πρωτόκλητε.

Ὕμνος ποῖος ἀρκέσει, ἀφικέσθαι τοῦ ὕψους τῆς σῆς ἁγιωσύνης Ἀνδρέα, ἢ ὑμνήσει τις τῶν γηγενῶν, ὃν ὁ Δεσπότης πάντων Χριστὸς σὲ ἐμακάρισεν· ἀλλ᾽ οὖν τὸν πόθον δέδεξο ἡμῶν τῶν μετὰ σοῦ βοώντων· ἀλληλούϊα.

Φῶς τὸ πρῶτόν σε μάκαρ, ἐκ Παρθένου ἐκλάμψαν, φῶς δεύτερον ἀνέδειξε Κόσμῳ, ταῖς φαεινοτάταις ἀστραπαῖς, τῆς θεογνωσίας, αὐγάζον ἅπαντας, καὶ διεγεῖρον ὕμνοις σε, χαριστηρίοις ἀναμέλπειν.

Χαῖρε ἰσχὺς τῶν κατερραγμένων,
Χαῖρε ἐλπὶς τῶν ἀπεγνωσμένων.
Χαῖρε πνοὴ τὴν θείαν γνῶσιν ἐμπνέουσα·
Χαῖρε ἀλκὴ τὴν θείαν ῥῶσιν παρέχουσα.

www.tezaurliturgic.ro



Χαῖρε ὅτι κατεστόρεσας ἀταξίας τῶν ἐθνῶν·
Χαῖρε ὅτι κατεκόσμησας τὸ πολίτευμα αὐτῶν.
Χαῖρε θεῖον ταμεῖον μυστηρίων ἀρρήτων·
Χαῖρε ὄντως δοχεῖον τῶν Θεοῦ ἀποκρύφων.
Χαῖρε βροντὴ ἠχοῦσα τὰ πέρατα.
Χαῖρε δι᾽ οὗ γηγενεῖς οὐρανοῦνται·
Χαῖρε δι᾽ οὗ ἡ Τριὰς προσκυνεῖται.
Χαῖρε μύστα Πρωτόκλητε.

Χαίροις ἀνεκλαλήτως, ἐν ὑψίστοις Ἀνδρέα, Χριστῷ τῷ ποθητῷ διδασκάλῳ, οἷα Θεὸς ἀμέσως Θεῷ, τῷ φύσει ὁ θέσει νῦν παριστάμενος, καὶ δόξης ἐμφορούμενος θεαρχικῆς, βοῶν ἀπαύστως· ἀλληλούϊα.

Ψάλλοντές σοι τὸν ὕμνον, ἀνυμνοῦμέν σε πάντες, Ἀπόστολε θεόπτα Ἀνδρέα· ὁ γὰρ Χριστὸς οἰκείαν τιμήν, τὴν σὴν ὄντως ἐκδεχόμενος Κύριος, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοι πάντας.

Χαῖρε σφραγὶς τῆς ἁγιωσύνης·
Χαῖρε κρηπὶς θεορρημοσύνης.
Χαῖρε νυμφοστόλε ὡραῖε τῆς χάριτος·
Χαῖρε θεηγόρε τῆς θείας σαρκώσεως.
Χαῖρε πᾶσι τὸ σωτήριον τοῦ Θεοῦ Λόγου εἰπών·
Χαῖρε πλάνης τὴν σκοτόμαιναν κατὰ κράτος καθελών.
Χαῖρε τῆς οἰκουμένης ὁ ἀκοίμητος πρέσβυς·
Χαῖρε Πατραχαΐας πολιοῦχος καὶ φύλαξ.
Χαῖρε γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα·
Χαῖρε παντὸς τοῦ Κόσμου ἀγλάϊσμα.
Χαῖρε κοινὲ πρεσβευτὰ καὶ μεσίτα,
Χαῖρε ἐμοῦ ἐξαιρέτως προστάτα.
Χαῖρε μύστα Πρωτόκλητε.

Ὦ Πρωτόκλητε πάντων, Μαθητῶν Ἀποστόλων, Ἀπόστολε θεόπτα Ἀνδρέα, ἐφύμνιον τοῦτο τὸ βραχύ, ὡς τὰ τῆς χήρας δύω λεπτὰ πρόσδεξαι, καὶ τῆς μελλούσης ῥῦσαί με κολάσεως, Θεῷ βοῶντα· ἀλληλούϊα.